UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Sōkratus Scholastiku Kai Ermeiu Sozomenu Ekklēsiastikē Istoria

**Socrates <Scholasticus>**

**Mogvntiae, 1677**

Caput XI. De quaestione in Aegypto exorta, utrum Deus humana forma praeditus sit. Et de Theophilo Alexandriae Episcopo: deque libris Origenis.

urn:nbn:de:hbz:466:1-14233

Visual Library

ἰωάννης δὲ καίπερ πολλῶν ἀντιβολούντων, παρῃτεῖτο τὴν πρὸς αὐτὸν ὁμιλίαν· εἰσότε δὴ ἐν τῇ ἐπωνύμῳ τῶν ἀποστόλων ἐκκλησίᾳ τοῖς αὐτοῦ γόνασιν ἡ βασιλὶς ἐπιθεῖσα θεοδόσιον τὸν υἱὸν, λιπαροῦσά τε καὶ πολλάκις ὁρκοῦσα, μόλις αὐτὸν εἰς φιλίαν τῷ σευηριανῷ συνῆψε· καὶ ταῦτα μὲν ὧδε ἔγνων.

A Sed Joannes, quamvis multis eum obsecrantibus, colloquium ejus detrectavit; donec Augusta in Ecclesia Apostolorum imposito Joannis genibus Theodosio filio, illum identidem obsecrans atque adjurans, ægre in gratiam reduxit cum Severiano. Et hæc quidem ita gesta esse accepi.

---

## Κεφ. ια'.

Περὶ τῆς κατ' αἴγυπτον ζητήσεως, εἰ ἀνθρωπόμορφον τὸ θεῖον· καὶ περὶ θεοφίλου τοῦ ἀλεξανδρείας, καὶ τῶν ὠριγένους βίβλων.

ΕΝτούτῳ δὲ, οὐ πολλῷ πρότερον ἀρξαμένη ζήτησις κατὰ τὴν αἴγυπτον ἐκεκίνητο, εἰ τὸν θεὸν ἀνθρωπόμορφον δοξάζειν δεῖ· ταύτης δὲ τῆς γνώμης οἱ πλείους τῶν τῇδε μοναχῶν ἦσαν, ὑπὸ ἁπλότητος ἀβασανίστως τοὺς ἱεροὺς ἐκλαμβάνοντες λόγους, καὶ ὀφθαλμοὺς θεοῦ καὶ πρόσωπον καὶ χεῖρας, καὶ ὅσα τοιαῦτα προσεθισθέντες ἀκούειν· οἱ δὲ τὴν ἐν τοῖς ὀνόμασι κεκρυμμένην διάνοιαν, σκοποῦντες, ἐναντίως εἶχον· καὶ τοὺς τάδε λέγοντας, ἄντικρυς βλασφημεῖν εἰς τὸ θεῖον ἔλεγον· καὶ θεόφιλος δὲ ταύτης ἔχεσθαι τῆς δόξης, ἐν ἐκκλησίᾳ παρεκελεύσατο, καὶ ἐν ἐπιστολῇ ἣν ἐξ ἔθους περὶ τῆς πασχαλίας ἑορτῆς ἔγραφε, καὶ ἀσώματον χρῆναι νοεῖν τὸν θεὸν εἰσηγεῖτο· καὶ ἀνθρώπου σχήματος ἀλλότριον· ἐπεὶ δὲ τοῦτο δῆλον ἐγένετο τοῖς αἰγυπτίων μοναχοῖς, ἦκον εἰς ἀλεξάνδρειαν· καὶ εἰς ἓν ἀθροισθέντες ἐστασίαζον, καὶ ὡς ἀσεβοῦντα τὸν θεόφιλον ἀνελεῖν ἐβουλεύοντο· ὁ δὲ παρ' αὐτίκα φανεὶς ἔτι στασιάζουσιν, οὕτως ὑμᾶς, ἔφη, εἶδον ὡς θεοῦ πρόσωπον· τὸ δὲ ῥηθὲν ἱκανῶς ἐφύλαξε τοὺς ἄνδρας· καὶ τῆς ὀργῆς καθυφέντες, οὐκοῦν, φασὶν, εἰ τάδε ἀληθῶς δοξάζεις, καὶ τὰς ὠριγένους ἀποκήρυξον βίβλους, ὡς τῶν ἀσκουμένων ταύτας οὕτω φρονεῖν εἰσηγουμένων· ἀλλ' ἐμοὶ, ἔφη, τοῦτο πάλαι δεδογμένον ἦν, καὶ ποιήσω ὡς ὑμῖν δοκεῖ· μέμφομαι γὰρ οὐχ ἧττον κἀγὼ τοῖς τὰ ὠριγένους δοξάζουσι· καὶ ὁ μὲν, οὕτω βουκολήσας τοὺς μοναχοὺς, διέλυσε τὴν στάσιν.

---

## Caput XI.

*De quæstione in Ægypto exorta, utrum* B *Deus humana forma præditus sit. Et de Theophilo Alexandriæ Episcopo: deque libris Origenis.*

PEr idem tempus quæstio, non multo ante exorta, in Ægypti partibus agitata est, utrum Deum humana forma præditum credere oporteat. Hujus autem opinionis erant plerique ex monachis regionis illius, qui præ imperitia, verba sacræ Scripturæ simpliciter & incaute accipiebant, & oculos, vultum ac manus Dei, aliaque ejusmodi audire C consueverant. Alii vero sensum in verbis reconditum spectantes, contrarium sentiebant: & eos qui ita dicerent, impie prorsus in Deum loqui asseverabant. Et hanc quidem sententiam Theophilus amplectendam esse publice in Ecclesia docuit: & in Epistola quam ex more scripsit de festo Paschali, Deum incorporeum intelligi oportere affirmavit, & ab humana figura alienum. Quod cum Ægyptiorum monachi didicissent, Alexandriam venerunt. Et in unum congregati tumultuari cœperunt, ac Theophilum velut impium è medio tollere volebant. Verum ille ad eos adhuc tu- D multuantes progressus: perinde, inquit, vos aspexi ac vultum Dei. Hoc dictum homines tantisper cohibuit. Proinde illi sedato furore; si, inquiunt, ex animo ita credis, Origenis libros condemna; cum illi lectores suos in eam sententiam inducant. Tum Theophilus: istud, inquit, jampridem constitueram, faciamque sicut vobis videtur. Nam & ipse æque ac vos, iis succenseo, qui Origenis opiniones sequuntur. Hac ratione Theophilus delusis monachis, seditionem dissolvit.